Δη. Οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;
Αλλ. Καὶ νὴ Δία γ' εἰ δύω λεγοίτην ῥήτορε,
Ὁ μὲν, ποιεῖσθαι ναῦς λέγων, ὁ δ' ἕτερος αὖ,
Καταμισθοφορῆσαι, τοῦτον ὁ τὸν μισθὸν λέγων,
Τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
Οὗτος τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;
Δη. Αἰσχύνομαί τοι ταῖσι πρότερον ἁμαρτίαις.
Αλλ. Ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς.
Ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νῦν δὲ φράσον.
Ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος,
Οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
Εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην,
Τοῦτον τί δράσεις εἰπὲ τὸν ξυνήγορον;
Δη. Ἄρας μετέωρον, εἰς τὸ βάραθρον ἐμβαλῶ,
Ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.
Αλλ. Τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις.
Τὰ δ' ἄλλα φέρ' ἴδω πῶς πολιτεύσῃ, φράσον.
Δη. Πρῶτον μὲν, ὁπόσοι ναῦς ἐλαύνουσι μακράς,
Καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.
Αλλ. Πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.
Δη. Ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ,
Οὐδεὶς κατὰ σπουδὰς μεταγραφήσεται.
Ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
Αλλ. Τοῦτ' ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου.
Δη. Οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
Αλλ. Ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;
Τὰ μειράκια ταυτὶ λέγω τὰν τῷ μύρῳ,
Ἃ στωμυλεῖται τοιαδὶ καθήμενα.
Σοφός γ' ὁ Φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανε.
Συνερκτικὸς γάρ ἐστι καὶ περαντικὸς
Καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικός.
Καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ.
Χο. Οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ.
Δη. Μὰ Δί' ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
Τούτους ἅπαντας παυσαμένους ψηφισμάτων.
Αλλ. Ἔχε νῦν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν.
Καὶ παῖδ' ἐνόρχην ὅσπερ οἴσει τόνδε σοι.
Κἂν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.
Δη. Μακάριος, ἐς τἀρχαῖα δὴ καθίσταμαι.

A PO. Adeon' stultus atq́ delirus fui?
AG. Et per Iouem si duo dicebant Rhetores,
Quorum alter naues confici suaderet, &
Alter stipendia militaria soluere:
Hic, qui verba faciebat de stipendiis,
Illum, qui de triremibus te monuerat,
Præterlabebatur: quid aspectas humum
Obstipo capite? annó non manebis hoc loco?
B PO. Pudet præteritorum delictorum, ac piget.
AG. At nulla in te culpa est, ne solicitus sies,
Sed in his, qui tibi verba dedêre. age verò, cedò,
Nunc si quis aduocatus scurra diceret,
Nihil farinæ vobis iudicibus erit,
Nisi priùs hanc causam damnaueritis. agè
Quid huic facturus es aduocato? cedò mihi.
PO. Raptum sublimem, in barathrum præcipitem dabo:
C Et Hyperbolo ipsi, laqueo interstringam gulam.
AG. Sapienter hoc & rectè iam pronuncias.
Sed quomodo ordinabis cætera? dic age.
PO. Primùm quicunque naues longas remo agunt,
His militibus integrum dabo stipendium.
AG. Multis detritis natibus gratum feceris.
D PO. Deinde nemo ciuium relatus in
Numerum: pòst præproperè transscribetur aliò,
Sed, vt erat primitus, ita inscribetur statim,
AG. Hoc marculum Cleonymi momorderit.
PO. Nemo imberbis pòst in foro versabitur.
AG. Vbi ergo Clisthenes manebit & Strato?
Hos dico adolescentes, vnguentis illitos.
Qui considentes hæc verba assiduè crepant.
E Sapiens est Phæax, sed mortem non persperè
Obiuit: nam & membra aptè scit connectere,
Et terminare, forma req́ sententias,
Et perspicuus est, atque in dicendo vehemens,
Et aduersus tumultuantem quàm optimè
Praeoccupare animos auditorum potest.
CH. Non tu hominem garrulum digitis praeoccupes?
F PO. Non per Iouem: sed hos omnes venerarier
Cogam, & Senatusconsulta intermittere.
AG. Habe nunc pro istis hanc sellam plicatilem,
Puerumq́ testiculatum, qui sellam ferat.
Vbi tibi visum fuerit sellam ipsum facere.
PO. Beatum me, qui restituor in pristinum.

Σχόλια. Καταμισθοφορῆσαι.] εἰς μισθὸν ἀναλῶσαι. μισθὸν δίδοναι ἐν τῇ ἐκκλησίᾳ καὶ τοῖς δικαστηρίοις, τὸ δικαστικὸν καὶ τὸ ἐκκλησιαστικόν. παραδραμὼν δὲ παρευδοκιμήσας. Τί κύπτεις.] ὡς αἰσχυνθέντος αὐτοῦ. δεῖ δὲ νοεῖν ὅτι ὁ δῆμος ἀκηκοὼς ταῦτα, ὑπὸ αἰδοῦς κατέκυπτε καὶ εἰς τὴν γῆν ἀτενῶς ἀπέβλεπεν αἰδούμενος ἐφ' οἷς ἐδόκει μὴ καλῶς πράττειν. Οὐχὶ κατὰ χώραν μενεῖς.] οὐκ ἐπὶ σαυτοῦ μενεῖς καὶ ἡσυχίαν ἕξεις. Εἰ μὴ καταγνώσεσθε.] εἰ μὴ κατακρινεῖτε καὶ καταδικάσετε. Εἰς τὸ βάραθρον] τόπος Ἀθήνησι βαθύς, ὅπου καὶ τοὺς Δαρείου πρέσβεις ἔβαλον. πάντα δὲ τὰ ἐκεῖ βαλλόμενα, ἀφανῆ ἐποίει. Ἐκ τοῦ λάρυγγος.] ὅταν γὰρ καταποντῶσι τινὰς, βάρος ἀπὸ τῶν τραχήλων ἐκρέμων. ἀντὶ δὲ τοῦ εἰπεῖν λίθον, Ὑπέρβολον εἶπεν. φαίνεται δὲ ὁ Ὑπέρβολος ἤδη εἰσβὰς εἰς τὴν πολιτείαν. λέγεται δὲ καὶ λάρυγξ καὶ φάρυγξ. Ναῦς ἐλαύνουσι μακράς.] πολεμίας. τὰς τριήρεις δέ φησι. τὰ δὲ στρογγύλα πλοῖα, φορτηγά εἰσιν. Ὑπολίσποις.] οἱ γὰρ Ἀθηναῖοι πάντες, λεπτοὶ ἐτύγχανον τὰ ὀπίσθια ἀπὸ Θησέως. ὑπόλισπα δὲ τὰ τετριμμένα. κοινῶς γοῦν τοὺς Ἀθηναίους λισπόπυγάς φασι. καὶ πλάττονται τὸ περὶ Θησέως